## Τῌ ΙΑ΄ ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ

† Μνήμη τῶν ἁγίων Μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου· καὶ τῆς ἁγίας Μάρτυρος Στεφανίδος· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοδώρου τοῦ Στουδίτου.

* * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο
γη με νος ο ερ χο ο με νος εν ο νο μα τι Κυ ρι ι
ου

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο
γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ι
ου

### Ἀπολυτίκια.

### Τῶν Μαρτύρων.

Ἦχος Δι

Οι μαρ τυ ρες σȣ Κυ ρι ε εν τη αθ λη σει αυ
των στε φα νȣς ε κο μι σαν το της αφ θαρ σι




Δόξα. Τοῦ Ὁσίου.

Ἦχος πλ. β' Γα




Καὶ νῦν.

Τὸ ὁμόηχον θεοτοκίον ἢ σταυροθεοτοκίον ἐκ τῶν ἁρμοδίων διὰ τὰς καθημερινάς (ὅρα εἰς Ὡρολόγιον «θεοτοκία ἀπολυτίκια»).

Τῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ πρωί, εἰς τὸν Ὄρθρον.

Ἦχος πλ. β' Γα






Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

## ΚΑΘΙΣΜΑΤΑ

Ψάλλονται ἀπὸ τὴν Παρακλητικὴ
τὰ καθίσματα τῆς α΄, β΄ καὶ γ΄ στιχολογίας
τῆς τυχούσης ἡμέρας εἰς τὸν ἦχον τῆς τυχούσης ἑβδομάδος.

2024 ἦχος γ΄ , τῇ Δευτέρᾳ πρωΐ.

Εἶτα τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ

ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

Οἱ Κανόνες·

## Στίχοι τῶν Κανόνων:

Εἰς τὰ κατανυκτικὰ, σταυρώσιμα καὶ τὰ δεσποτικά τροπάρια:
Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Εἰς τριαδικά τροπάρια:
Ἁγία Τριὰς ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Εἰς τοὺς κανόνας τῆς Θεοτόκου καὶ τὰ θεοτοκία:
Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Εἰς τὰ τῶν ἀσωμάτων (ἑκάστης Δευτέρας):
Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς τὰ τοῦ Προδρόμου (ἑκάστης Τρίτης):
Προφῆτα τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
(τὸ αὐτὸ καὶ εἰς κανόνα προφήτου).
Εἰς τὰ ἀποστολικά (ἑκάστης Πέμπτης):
Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς ἕνα ἀπόστολον:
Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς τὰ μαρτυρικά, τὰ τῶν ἱεραρχῶν καὶ τῶν ἁγίων γενικῶς:
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς ἕνα μάρτυρα ἢ ἅγιον γενικῶς:
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς τὰ ὁσιακά:
Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰς γυναῖκας ἁγίας:
Ἅγιαι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς μίαν γυναῖκα ἁγίαν:
Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς τὰ δύο τελευταῖα τροπάρια τοῦ τελευταίου κανόνος ἑκάστης ᾠδῆς ἀπαραιτήτως λέγομεν Δόξα... Καὶ νῦν..., ἀλλ' εἰς τὸ προτελευταῖον τροπάριον τῆς η΄ ᾠδῆς (μόνον ἐν τῷ ὄρθρῳ) ἀντὶ τοῦ Δόξα Πατρί... λέγομεν Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Οἱ Κανόνες·
εἷς τῆς Ὀκτωήχου,

2024 ἦχος γ΄ , τῇ Δευτέρᾳ πρωΐ.

καὶ οἱ παρόντες δύο τῶν Ἁγίων.
Ὁ Κανὼν τῶν Μαρτύρων, οὗ ἡ ἀκροστιχίς·
*Τιμῶ σε, Μάρτυς Μηνᾶ, πίστεως λόγοις.*
Ποίημα Θεοφάνους.
Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Τιμῶντι τὴν μνήμην σου, καὶ τοὺς γενναίους ἀγῶνάς σου, Μηνᾶ πανaοίδιμε, αἴγλην ἐξ ὕψους μοι, φωτοδότιδα, πεμφθῆναι ἐκδυσώπει, τὸ νέφος διώκουσαν τῆς ἀγνωσίας μου.
Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Ἰδεῖν ἐφιέμενος, ἀθανασίαν τὴν μέλλουσαν, θανεῖν τιμωρούμενος, Μάρτυς ἠγάπησας, τοῦ τὸν θάνατον, θανάτῳ καθελόντος, τὸ πάθος μιμούμενος, Μηνᾶ μακάριε.
Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Μὴ φέρων ἀοίδιμε, Θεὸν ὁρᾶν ὑβριζόμενον, ἐμάκρυνας ὄρεσιν ἐνδιαιτώμενος, καὶ πρὸς ἄθλησιν, σαυτὸν καὶ πρὸς ἀγῶνας, γυμνάζων οὓς ἤνυσας, γνώμης στεῤῥότητι.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὡς ἔμψυχος τράπεζα, ἄρτον χωρεῖς τῆς ζωῆς ἡμῶν· ὡς βάτος βαστάσασα οὐ κατεφλέχθης τὸ πῦρ· καὶ ὡς ἄμπελος, ἀπότιστος βλαστάνεις, τὸν βότρυν Πανάμωμε, τὸν ἀγεώργητον.

Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·
*Τὸν κλεινὸν Θεόδωρον ἐν ᾄσμασι τοῖς δε γεραίρω.*
Θεοφάνους.
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς φωτοβόλοις ἀστραπαῖς τοῦ Πνεύματος, καταλαμπόμενος, ὁλολαμπὴς στῦλος, Πάτερ ἐχρημάτισας, καθοδηγῶν θεσπέσιε, πρὸς τὴν γῆν θεοφρόνως, ἐπαγγελίας τοὺς σπεύδοντας, μύστα τῶν ἀῤῥήτων Θεόδωρε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλοσχερῶς ταῖς ἀνενδότοις νεύσεσι, πρὸς τὸν Θεὸν ἐκδημῶν, πρὸ τελευτῆς ὤφθης, ζωηφόρον νέκρωσιν, ἐνδεδυμένος Ὅσιε, καὶ ζωὴν τὴν ἀγήρω, νῦν ἐπαξίως ἀπείληφας, Πάτερ θεοφόρε Θεόδωρε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νενικηκὼς τὰ τῶν παθῶν σκιρτήματα, τὰς τῶν τυράννων ὁρμάς, νεανικῶς μάκαρ, πάσας ἐξεφαύλισας, πεπαῤῥησιασμένῃ ψυχῇ, τοῦ Χριστοῦ τὴν εἰκόνα, τιμᾶν διδάσκων Θεόδωρε, καὶ τὰ τῶν Ἁγίων μορφώματα.

Δόξα.

Κεκαθαρμένῃ διανοίᾳ πάνσοφε, ταῖς θεοπνεύστοις Γραφαῖς, προσομιλῶν πλοῦτον, ἀρετῶν συνήθροισας, καὶ εὐσεβείας δόγματα, θεωρίαν πλουτίσας, καὶ βίου μάκαρ λαμπρότητα, λάμψας ἀμφοτέρωθεν Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον.

Λόγον Θεοῦ σωματωθέντα τέτοκας, τὸν πρὶν ἀσώματον, θεανδρικῶς κόσμῳ, συναναστρεφόμενον, ὑπερφυῶς πανάμωμε, Θεοτόκε Παρθένε· διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

τῆς Ὀκτωήχου. Ὠδὴ γ΄.

Τῶν Μαρτύρων. Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σεσοβημένος, τοῖς πανσόφοις σου λόγοις ὁ τύραννος, σὲ μαστίζει ἀφειδῶς, ὠμοῖς βουνεύροις οἰόμενος, τούτοις κατακάμπτειν σε, Μηνᾶ μακάριε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐνατενίζων, νοεροῖς ὀφθαλμοῖς πρὸς τὸν Κύριον, τῆς σαρκὸς τὰ δυσαχθῆ, βασάνων βάρη ὑπέφερες, γνώμης γενναιότητι, Μηνᾶ θαυμάσιε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Μὴ δειλιάσας, τῶν βασάνων τὸ λίαν ἐπίπονον, πνέων ζήλου

θεϊκοῦ, πρὸς τοὺς ἀγῶνας ἐχώρησας, κράζων· Μὴ ζητούμενος, ἦλθον αὐτόκλητος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

ᾎδου πυλῶν με, ὁ ἐκ σοῦ σαρκωθεὶς ἀνηγάγετο, ξύλου βρώσει πονηρᾷ, θανατωθέντα Πανάμωμε, θάνατον ἑκούσιον, καταδεξάμενος.

## Τοῦ Ὁσίου. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νενευρωμένος τοῦ Χριστοῦ, παμμάκαρ τῇ παντευχίᾳ, τῶν πληγῶν τὰς ἀλγηδόνας ὑπέστης, μαστιζόμενος δεινῶς, καὶ σκότει καθειργνύμενος· ὡς κοινωνὸς δὲ πάθους, καὶ βασιλείας γεγένησαι.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θεοφορούμενος σαφῶς, καὶ ζήλῳ πεπυρσευμένος, τὰς βεβήλους διδαχὰς τῶν ἀφρόνων, διαλέλυκας ταῖς σαῖς, διδασκαλίαις πάνσοφε· τὴν ἐκ Θεοῦ γὰρ χάριν, Θεόδωρε κατεπλούτησας.

Δόξα.

Ἐν θεωρίαις πρακτικός, ἐν πράξεσι θεολόγος, ἐχρημάτισας Θεόδωρε Πάτερ, ἀσκητὴς διδακτικός, ἱερομάρτυς ἔνδοξος, ὀρθοδοξίας στῦλος, τῆς Ἐκκλησίας ἑδραίωμα.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ συναΐδιος Πατρί, καὶ Πνεύματι Θεὸς Λόγος, ἀναπλάσαι βουληθεὶς τὸν γενάρχην, καθ᾽ ὑπόστασιν αὐτόν, ἐκ σοῦ ἁγνὴ ἀνέλαβεν, ἁγιωτέραν πάντων, σὲ Θεομῆτορ εὑράμενος.

## Ὁ Εἱρμός.

Ἦχος πλ. δ΄ Γα




Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κοντάκιον. Τοῦ Ὁσίου.

### Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν ἀσκητικόν, ἰσάγγελόν τε βίον σου, τοῖς ἀθλητικοῖς, ἐφαίδρυνας παλαίσμασι, καὶ Ἀγγέλοις σύσκηνος, θεομάκαρ ὤφθης Θεόδωρε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

### Κάθισμα. Τοῦ Μάρτυρος.

### Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἡ τὸ πρὶν ἀγνωσίας σκότει δεινῷ, κρατουμένη θεόφρον, Μάρτυς Μηνᾶ, Αἴγυπτος ἀνέτειλε, σὲ φωστῆρα παγκόσμιον, ἀθεΐας νύκτα, συντόνως ἐλαύνοντα, ταῖς βολίσι μάκαρ, τῶν θείων ἀγώνων σου· ὅθεν τὴν φωσφόρον, καὶ σεπτήν σου ἡμέραν, φαιδρῶς ἑορτάζοντες, ἐκτενῶς σοι κραυγάζομεν· Ἀθλητῶν ἐγκαλλώπισμα, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

### Δόξα. Τοῦ Ὁσίου.

### Ἦχος γ΄. Θείας πίστεως.

Θεῖα δόγματα καταπλουτήσας, πίστιν ἔσωσας ὀρθοδοξίας, προκινδυνεύσας ὑπὲρ ταύτης Θεόδωρε, ἐν ἐξορίαις ἀθλήσας καὶ μάστιξιν, ἐν φυλακαῖς καρτερήσας τὴν κάκωσιν. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

### Ἢ Σταυροθεοτοκίον.

### Τῇ Τετάρτῃ καὶ Παρασκευῇ πρωί.

Ἡ ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομῆτορ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· Οἴμοι Τέκνον μου! πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

## Ὁ Εἱρμός τῆς ϛʹ ᾠδῆς.

Ἦχος πλ. δ΄ Γα




Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον. Τοῦ Μάρτυρος.

### Ἦχος δʹ. Ἐπεφάνης σήμερον.

Τῆς στρατείας ἥρπασε, τῆς ἐπικήρου, καὶ ἀφθάρτου ἔδειξε σὲ ἀθλοφόρε κοινωνόν, Μηνᾶ Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ τῶν Μαρτύρων ἀκήρατος στέφανος.

### Ὁ Οἶκος.

Μεγάλης πρόξενος ἡμῖν ὑπάρχει θυμηδίας ἡ μνήμη τῶν Μαρτύρων, κατὰ παθῶν ἀνδρείαν, καὶ ἀριστείαν κατ᾽ ἐχθρῶν ἐπιδεικνυμένη, ἐν φαιδρᾷ καὶ προσηνεῖ ὁμολογίας χάριτι. Δεῦτε οὖν ἐν ταύτῃ φιλέορτοι πάντες εὐφρανθῶμεν, τῆς προσκαίρου εὐφροσύνης τὴν κρείττονα καὶ τελεωτέραν, Μηνᾶ τοῦ Ἀθλητοῦ τὴν μνήμην τελοῦντες, καὶ λαμβάνοντες παθῶν δῶρον τὴν λύσιν· τούτων δὲ δοτήρ, Χριστὸς ὁ Θεὸς ὑπάρχει, ὁ τῶν Μαρτύρων ἀκήρατος στέφανος.

### Συναξάριον.

Τῇ ΙΑʹ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου μεγαλομάρτυρος Μηνᾶ τοῦ ἐν τῷ Κοτυαείῳ. (†304)

Στίχ. Αἴγυπτος ὄντως, εἰ τέκοι, τίκτει μέγα,
Τμηθεὶς ἀληθὲς τοῦτο Μηνᾶς δεικνύει.

Μηνᾶς ἑνδεκάτῃ ἔτλη ξίφος γηθόσυνος κῆρ.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, στρατευόμενος ἐν τοῖς Νουμέροις (στρατιωτικοῖς τάγμασι), τοῖς λεγομένοις Ῥουταλικοῖς, ὑπ᾽ Ἀργυρίσκῳ ἡγεμόνι, ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας (ὑγιεινῆς). Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν εἰδώλων πλάνην παῤῥησιαζομένην, εἰς τὸ ὄρος ἀνῆλθε, νηστείαις ἑαυτὸν καθαίρων καὶ προσευχαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτὸν

καὶ τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ τὴν ψυχὴν ἀναφλέξας, ἐκ τοῦ ὄρους κατῆλθε. Καὶ στὰς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυξεν. Ὅθεν αἰκισθεὶς καὶ τριχίνοις ὑφάσματι τὰς σάρκας καταξανθεὶς καὶ καυτῆρσι προσομιλήσας πυρὸς καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς ἕλκεσθαι, ἅπαν τὸ σῶμα διαλωβηθείς, τὴν διὰ ξίφους δέχεται τελευτήν.

Διήγησίς τινων ἐκ τῶν θαυμάτων αὐτοῦ.

Ποτέ τις ἀπερχόμενος ἐν τῷ ναῷ τούτου προσεύξασθαι, ἐδέχθη παρά τινος εἰς μονήν. Καὶ ἐπεὶ ὁ πανδοχεὺς ἔγνω τὸν ὑποδεχθέντα ἐγκόλπιον φέρειν χρυσοῦν, ἀναστὰς ἐν μέσῳ τῆς νυκτός, φονείᾳ χειρὶ τοῦτον ἐπέθετο· καὶ μεληδὸν κατακόψας, εἰς σπυρίδα ἐνέβαλε καὶ ἀπηώρησε, τὴν ἕω ἐκδεχόμενος· καὶ ἦν λοιπὸν ἐναγώνιος, ὅπως τε καὶ τοῦ ἀπαγάγῃ, ἐν ἀφανεῖ τόπῳ κατακρύψαι βουλόμενος. Καὶ ὡς ἐν τούτοις ἦν ἡ μελέτη, ὁ ἅγιος τοῦ Χριστοῦ Μάρτυς, ἔφιππος ὡς ἐν τάξει στρατιώτου ἀναφανείς, περὶ τοῦ ἐκεῖσε καταλύσαντος ἠρεύνα ξένου. Τοῦ δὲ φονέως μηδὲν γινώσκειν διαβεβαιουμένου, τοῦ ἵππου ἀποβάς, εἰσῆλθεν ἐν τῷ ἐνδοτέρῳ οἰκήματι. Καὶ καταγαγὼν τὴν σπυρίδα, Τί ἐστι τοῦτο, φησίν. Ὁ δέ, ὥς περ ἔκπληκτος γενόμενος ὑπὸ τοῦ δέους, τοῖς ποσὶ τοῦ Ἁγίου πτῶμα δεινὸν ἑαυτὸν κατέβαλε. Τὰ γοῦν κατατμηθέντα μέλη ὁ Ἅγιος συναρμολογήσας καὶ προσευξάμενος, ἀνέστησε τὸν νεκρόν, εἰπών· Δὸς δόξαν τῷ Θεῷ. Ὁ δέ, ὡς ἐξ ὕπνου ἀναστάς, καὶ κατανοήσας ὅσα καὶ οἷα ἔπαθε παρὰ τοῦ ὑποδεξαμένου, ἐδόξασε τὸν Θεόν. Καὶ τῷ φαινομένῳ στρατιώτῃ εὐχαριστήσας, τὴν προσκύνησιν ἐδίδου. Ἀναστάντος δὲ αὐτοῦ, ὁ Ἅγιος τὸν χρυσὸν ἀπὸ τοῦ φονέως λαβών, δοὺς αὐτῷ ἔφη· Τὴν ὁδόν σου πορεύου. Τὸν δὲ φονέα ἐπιστραφείς, τύψας, ὡς εἰκός, καὶ κατηχήσας, προσέτι καὶ τὴν ἄφεσιν τοῦ ἐγκλήματος χαρισάμενος καὶ ὑπὲρ ἐκείνου προσευξάμενος, τοῦ ἐπιφαινομένου πάλιν ἵππου ἐπιβάς, ἀπέπτη ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.

Ἕτερος δέ τις, δίσκον ἐξ ἀργύρου τῷ Ἁγίῳ ἐπαγγειλάμενος, παραβαλὼν τῷ τεχνίτῃ, δύο τούτῳ κατασκευάσαι δίσκους ὑπέθετο καὶ ἐπιγράψαι ἐν μὲν τῷ ἑνὶ τὸ τοῦ Ἁγίου ὄνομα, ἐν δὲ τῷ ἑτέρῳ τὸ ἑαυτοῦ. Κατασκευασθέντων οὖν τῶν δίσκων, ἐπεὶ χαριέστερός τε καὶ λαμπρότερος ὁ τοῦ Ἁγίου ἐδείκνυτο, τῆς ἐπιγραφῆς μηδοπωσοῦν μελήσας, ἑαυτῷ τοῦτον προσήρμοσε. Τοίνυν καὶ κατὰ θάλασσαν διὰ τοῦ πλοὸς τὴν πορείαν ποιούμενος καὶ ἐν τῇ νηὶ τοῦ δείπνου διὰ τοῦ ἐξυπηρετοῦντος αὐτῷ εὐτρεπισθέντος, τὰ παρατεθέντα ἐν τῷ τοῦ Ἁγίου δίσκῳ ἀνυποστόλως ἤσθιε. Μετὰ δὲ ταῦτα, τῆς τραπέζης ἐκ μέσου γενομένης, ὁ ἐξυπηρετῶν αὐτῷ δοῦλος, λαβὼν τὸν δίσκον πρὸς τὸ ἐκπλῦναι τοῦτον, ἐν τῇ θαλάσσῃ ἐβύθιζεν. Ὑποσυρεὶς δ᾽ ὁ δίσκος ἐκ τῶν χειρῶν αὐτοῦ, πῶς ἄν τις εἴπῃ; ἐν τῇ θαλάσσῃ ἐῤῥίφη. Ὁ γοῦν δοῦλος, σύντροφος γενόμενος καὶ δειλίᾳ καὶ φόβῳ συσχεθείς, ἔτι δὲ καὶ καταναρκωθείς, ὑποχαυνώσας ἑαυτόν, ἀπεῤῥίφη καὶ αὐτὸς κατὰ πόδας ἐν τῇ θαλάσσῃ. Τοῦτο ἰδὼν ὁ κύριος αὐτοῦ, ἐλεεινολογούμενος, ἔλεγεν· Οὐαί μοι τῷ ἀθλίῳ· ὅτι ζηλώσας τὸν τοῦ Ἁγίου δίσκον, προσαπώλεσα σὺν αὐτῷ καὶ τὸν δοῦλον· ἀλλὰ σύ, Κύριε ὁ Θεός μου, τὴν ἐπαγγελίαν ταύτην πεποίημαι ἐνώπιόν σου, ὅτι ἐὰν τὸ λείψανον καὶ μόνον τοῦ παιδὸς εὑρήσω, δίδωμι τῷ θεράποντί σου Μηνᾷ καὶ τοῦτον τὸν δίσκον καὶ τὴν τοῦ ἀπολεσθέντος διατίμησιν. Καὶ ἐξελθὼν ἀπὸ τοῦ πλοίου ἐπὶ τὴν ξηράν, ἀπέβλεπε πρὸς τὴν παράλιον, καραδοκῶν καὶ ὑφορώμενος ἐν ὀφθαλμοῖς εἶναι τὸ ζητούμενον· καὶ διὰ τοῦτο ἀγωνιῶν, εἴ πως δυνηθείη θεάσασθαι τὸ τοῦ παιδὸς λείψανον. Καὶ ὡς προσεῖχεν ἐπιμελῶς, εἶδε τὸν δοῦλον ἐρχόμενον ἀπὸ τῆς θαλάσσης μετὰ τοῦ δίσκου, καὶ ἔφριξε· καὶ κράξαντος

μεγάλῃ τῇ φωνῇ, ἐξῆλθον ἅπαντες ἀπὸ τοῦ πλοίου. Καὶ ὡς εἶδον τὸν δοῦλον κατέχοντα τὸν δίσκον, ἐξέστησαν ἅπαντες, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν. Πυνθανομένων δὲ τούτων μαθεῖν τὸν τρόπον τῆς σωτηρίας αὐτοῦ, διεσάφησεν ὁ δοῦλος λέγων· Ὅτι ἅμα τῷ ἀποῤῥιφῆναί με ἐν τῇ θαλάσσῃ, ἀνὴρ εὐειδὴς μεθ᾽ ἑτέρων δύο κρατήσαντές με, ὥδευσαν σὺν ἐμοὶ χθὲς καὶ σήμερον μέχρι τῶν ὧδε.

Ἀλλὰ καὶ γυνή τις, ἀπερχομένη εἰς τὸν Ἅγιον καὶ βιασθεῖσα παρά τινος εἰς αἰσχρὰν μῖξιν, τὸν Ἅγιον εἰς βοήθειαν ἐπεκαλεῖτο· ὁ δὲ οὐ παρεῖδεν αὐτήν, ἀλλὰ τὸν βιαστὴν παραδειγματίσας, ἀβλαβῆ ταύτην διεφύλαξε. Δήσας γὰρ τὸν ἵππον ὁ ἀνὴρ εἰς τὸν δεξιὸν αὐτοῦ πόδα, πρὸς τὴν γυναῖκα ἠσχολεῖτο. Ὁ δὲ ἵππος, ἀγριωθεὶς κατὰ τοῦ ἰδίου δεσπότου, οὐ μόνον εἰς περικοπὴν τῆς αἰσχρᾶς μίξεως ἐγεγόνει, ἀλλὰ καὶ τοῦτον ἕλκων κατὰ γῆς, ἄχρις οὗ τὸν τοῦ Ἁγίου ναὸν κατέλαβεν οὐκ ἔστη. Αὐτίκα δὲ μεγάλα καὶ πικρὰ ἐπιχρεμετίσας, ἱκανοὺς ἐξήγαγε πρὸς θεωρίαν. Ἑορτῆς γὰρ ἀγομένης, πλῆθος λαοῦ ἐκεῖσε συνέτρεχεν. Ὁ δὲ τοῦτο πεπονθώς, ἰδὼν τὴν τοῦ λαοῦ συνέλευσιν, τὸν ἵππον δὲ ἐπὶ πλεῖον ἀγριούμενον καὶ ἑαυτὸν ὑπὸ μηδενὸς βοηθούμενον, πτοηθεὶς μήποτε ὀλεθριώτερόν τι ὑποσταίη ὑπὸ τοῦ ἰδίου ἵππου, ἀνερυθριάστως ἐνώπιον πάντων ἐστηλίτευσε τὸ ἑαυτοῦ ἀνόμημα. Καὶ εὐθέως ὁ ἵππος παυσάμενος, ἔστη ἐν ἡμερότητι. Καὶ λυθεὶς ὁ ἐπιβάτης, εἰσῆλθε πρὸς τὸν Ἅγιον, καὶ προσπεσὼν ἐδέετο τοῦ Ἁγίου μὴ πλείω πειρασθῆναι ἔτι.

Καὶ χωλοῦ ποτε καὶ ἑτέρας γυναικὸς ἀλάλου, παραμενόντων ἐν τῷ ναῷ τοῦ Ἁγίου μεθ᾽ ἑτέρων πολλῶν πρὸς τὸ θεραπευθῆναι, μέσης νυκτὸς πάντων ἐν τῷ ὕπνῳ ἀσχολουμένων, ἐφάνη ὁ Ἅγιος, καί φησι τῷ χωλῷ· Ἄπελθε, ἔτι ἠρεμίας οὔσης, κράτησον τὸ παλλίον τῆς ἀλάλου, καὶ θεραπευθήσῃ. Τοῦ δὲ ἀπελθόντος καὶ κρατήσαντος αὐτό, ἐκείνη σπασθεῖσα, ἀνέκραξε κατεγκαλοῦσα δῆθεν τοῦ χωλοῦ καὶ ἰάθη λυθείσης τῆς γλώττης. Ὁ δὲ χωλὸς αἰδεσθείς, εὐθέως ἀνέστη, φυγῇ μέλλων χρήσασθαι. Καὶ ἐπιγνόντες ἀμφότεροι τὴν τοῦ Ἁγίου εἰς αὐτοὺς γενομένην θαυματοποιίαν, ἐδόξασαν τὸν Θεόν.

Ἑβραῖος δέ τις, ἔχων Χριστιανὸν προσφιλῆ, εἰς χώραν μακρὰν ἀποδημῶν, πολλάκις κατελίμπανεν αὐτῷ χρυσίον ἱκανόν. Τούτῳ ποτὲ παραθέμενος βαλάντιον διακοσίων νομισμάτων, ἀπεδήμησεν· ὁ δὲ Χριστιανὸς ἐμελέτα ἐν τῇ καρδίᾳ αὐτοῦ ἀρνήσασθαι τὴν παρακαταθήκην, ὃ καὶ πεποίηκεν. Ἐλθόντος γὰρ τοῦ Ἑβραίου καὶ ζητήσαντος κατὰ τὸ εἰωθός, οὐκ ἐδίδου αὐτῷ, λέγων· Μηδὲν παρακατατέθηκάς μοι τῇ φορᾷ ταύτῃ ὧν ἐπιζητεῖς. Ὁ δὲ Ἑβραῖος, ἀπροσδοκήτως τοῦτο ἀκούσας, ἄλλος ἐξ ἄλλου γέγονε. Καὶ εἰς ἑαυτὸν ἐλθών, φησὶ πρὸς τὸν Χριστιανόν· Ἑτέρου μὴ βλέποντος, ὅρκος διαλύσει τὸ ζητούμενον· καὶ ἐζήτει διὰ τοῦ Ἁγίου ἐλεγχθῆναι τὸν μὴ ἀληθεύοντα. Ἀφίκοντο οὖν, ὡς ἐκ συνθήματος, εἰς τὸν ναὸν τοῦ Ἁγίου Μηνᾶ. Καὶ παρευθὺς ὁ Χριστιανός, μηδὲν μελήσας, δι᾽ ὅρκου τὴν οἰκείαν ἔνστασιν ἐβεβαίωσεν.

Ὡς δέ, τοῦ ὅρκου ἀπαρτισθέντος, ἐξελθόντες τοῦ ναοῦ ἀμφότεροι, τῶν οἰκείων ἵππων ἐπέβησαν, ὁ τοῦ Χριστιανοῦ ἵππος κατὰ τοῦ ἰδίου δεσπότου ἀτακτῶν ἦν· καὶ τὸν χαλινὸν ἐκδακών, πικρὸν ἠπείλει τῷ ἐπιβάτῃ τὸν θάνατον. Καὶ τέως μὲν ἔῤῥιψε κατὰ γῆς· διετερήθη δὲ ἀσινής, μόνου τοῦ ἐγχειρίου (μανδηλίου) αὐτοῦ ἀπολεσθέντος, σὺν κλειδίῳ καὶ βουλλωτηρίῳ χρυσέῳ ἑνί· εἶθ᾽ οὕτω καὶ αὖθις ἐπιβάς, ἐπορεύετο, συνόντος αὐτῷ καὶ τοῦ Ἑβραίου, στυγνάζοντος καὶ ἐκ βάθους στένοντος καὶ τὴν ζημίαν μὴ

φέροντος. Ἐπιστραφεὶς δὲ ὁ Ἑβραῖος, λέγει πρὸς αὐτόν· Ἐπεὶ καὶ ὁ τόπος ἐπιτήδειός ἐστιν, ὦ φίλτατε, καταβάντες τῶν ἵππων, ἀπολάβωμεν τροφῆς. Ἀρξαμένων δὲ αὐτῶν ἐσθίειν, μετὰ μικρὸν ἀτενίσας ὁ Χριστιανός, εἶδε τὸν ἑαυτοῦ δοῦλον ἑστῶτα καὶ κατέχοντα τῇ χειρὶ τῇ μιᾷ τὸ τοῦ Ἑβραίου βαλάντιον, ἐν δὲ τῇ ἑτέρᾳ τὴν ἀπολεσθεῖσαν κλεῖδα σὺν τῷ ἐγχειρίῳ· καὶ ἰδὼν ἐξεπλάγη, καί, Τί τοῦτο; πρὸς τὸν δοῦλόν φησιν. Ὁ δέ, φοβερός τις ἔφιππος, ἀπεκρίνατο, εἰς τὴν κυρίαν μου ἐλθὼν καὶ ἐπιδοὺς αὐτῇ τὸ κλειδίον μετὰ τοῦ ἐγχειρίου σου, πρὸς αὐτὴν εἴρηκεν· Ἐν σπουδῇ ἀπόστειλον τὸ τοῦ Ἑβραίου βαλάντιον, ἵνα μὴ ὁ ἀνήρ σου κινδυνεύσῃ· καὶ ἰδοὺ λαβὼν τοῦτο ἦλθον πρὸς σέ, καθὼς ἐπέταξεν. Ὁ δὲ Ἑβραῖος, περιχαρὴς γενόμενος, ὑπέστρεψε μετὰ τοῦ Χριστιανοῦ πρὸς τὸν Ἅγιον. Καὶ οὗτος μὲν ἠντιβόλει βαπτισθῆναι, ὡς τοιούτου θαύματος αὐτόπτης γενόμενος. Ὁ δὲ Χριστιανὸς συγχώρησιν ᾔτει λαβεῖν, ὑπὲρ οὗ τὸ Θεῖον παρώργισεν. Ἀμφότεροι οὖν λαβόντες, καθὼς ᾐτήσαντο, ὁ μὲν τὸ ἅγιον Βάπτισμα, ὁ δὲ τὴν συμπάθειαν, ὑπέστρεψαν εἰς τὰ ἴδια χαίροντες.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Βίκτωρος. (†160)

Στίχ. Οὐ δειλιῶν ἦν οὐδὲ Βίκτωρ πρὸς ξίφος,
Πᾶσαν μακράν που καρδίας θεὶς δειλίαν.

Οὗτος ἠγωνίσατο ἐπὶ Ἀντωνίου βασιλέως Ῥωμαίων καὶ Σεβαστιανοῦ τοῦ δουκὸς ἐν Ἰταλίᾳ· Ἀναγκασθεὶς γὰρ τὸν Χριστὸν ἀρνήσασθαι καὶ μὴ πεισθείς, τοὺς δακτύλους πρῶτον θλάττεται, εἶτα εἰς κάμινον βάλλεται· καὶ διαρκέσας ἐν αὐτῇ ἡμέρας τρεῖς, ἐξῆλθεν ἀβλαβής. Καὶ δηλητήρια φάρμακα πιεῖν ἀναγκάζεται· ὧν μηδὲν ἐνεργησάντων, ὁ ταῦτα κερασάμενος, τῷ Χριστῷ προσῆλθε πιστεύσας. Καὶ μετὰ ταῦτα, ἐκσπᾶται τὰ νεῦρα, καὶ πυρωθέντι ἐλαίῳ ἐμβάλλεται. Καὶ ἀναρτηθείς, λαμπάσι καταφλέγεται· καὶ κονίαν μετ᾽ ὄξους ἀναγκάζεται τῷ στόματι δέξασθαι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται· καὶ κατὰ κεφαλῆς κρεμᾶται ἐπὶ ἡμέρας τρεῖς· εἶτα τὴν δορὰν ἀφαιρεῖται, καὶ τότε τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Βικεντίου τοῦ διακόνου. (†304)

Στίχ. Βληθεὶς ὁ Βικέντιος ἐν φρουρᾷ φέρει·
Λυθεὶς δὲ φρουρᾶς σαρκικῆς, ἄνω τρέχει.

Οὗτος ὁ ἅγιος Μάρτυς Βικέντιος, ἐν Αὐγουστοπόλει τῆς Ἱσπανίας ὑπάρχων, καὶ διδάσκων τὸν λαὸν μετὰ καὶ τοῦ Ἐπισκόπου Ἱλαρίου (ἢ Οὐαλλερίου), Διάκονος ὤν, κρατηθέντες ἀμφότεροι, ἤχθησαν παρὰ τὸ βῆμα Δατιανοῦ τοῦ ἄρχοντος. Ὃς αὐτίκα σιδήροις αὐτοὺς περιθείς, εἰς πόλιν Βαλεντίαν ἀχθῆναι κελεύει, καὶ δυσωδεστάτῃ φρουρᾷ καθειρχθῆναι. Μετὰ δέ τινας ἡμέρας ἐξαγαγὼν τὸν Βικέντιον, κελεύει ξέεσθαι καὶ σταυρῷ καταπήγνυσθαι καὶ κατὰ μέλος αἰκίζεσθαι· ἐκεῖθέν τε ἀποσπασθείς, στρεβλοῦται καὶ μαστίζεται καὶ τὰς πλευρὰς κατακαίεται. Ἔξαρθρος δὲ γενόμενος ὅλος, ῥάβδους σιδηρᾶς πυρωθείσας ἐπὶ τοῦ στήθους δέχεται. Καὶ ἀποῤῥιφεὶς ἐν τῇ φυλακῇ, βοηθείας θείας καὶ ἀγγελικῆς ἀξιοῦται, καὶ αὐτίκα τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Στεφανίδος. (†160)

Στίχ. Δένδροις Στεφανὶς προσδεθεῖσα φοινίκων,
Τῶν Μαρτύρων ἤνθησεν ὡς φοῖνιξ μέσον.

Αὕτη, στρατευομένου τινὸς ὑπάρχουσα γαμετὴ καὶ τὸν Χριστὸν ἄνωθεν σεβομένη, ἐν τῷ βλέπειν τὸν ἅγιον Βίκτωρα ὑπὲρ ἄνθρωπον πάσχοντα, ἤδη

τὸν ἄνδρα ἀποβαλοῦσα καὶ ἐν χηρείᾳ τυγχάνουσα, ἐμακάρισε τῆς καρτερίας καὶ τῶν στεφάνων, ὧν ὁ Θεὸς ἔμελλε δωρήσασθαι αὐτῷ· δι᾽ ἣν αἰτίαν τῷ ἡγεμόνι προσάγεται. Καὶ ἐπεὶ τὸν Χριστὸν Θεὸν προαιώνιον ὡμολόγησεν, ἐκτείνεται τὰς χεῖρας καὶ δυσὶ φοίνιξι βίᾳ καμφθεῖσι προσδεθεῖσα, ἀφίεται. Ὧν πρὸς τὴν ἰδίαν ἀποκλινάντων ὁρμήν, αὕτη διαιρεῖται καὶ εἰς δύο μερίζεται τμήματα, καὶ οὕτω τῷ Θεῷ τὴν ψυχὴν ἀποδίδωσιν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου, ἡγουμένου τῶν Στουδίου, τοῦ ὁμολογητοῦ. (†826)

Στίχ. Πολλὰς ἀμοιβάς, Θεόδωρε τρισμάκαρ,
Βίου μεταστάς, ὡς βιοὺς εὖ, προσδόκα.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν, Φωτεινοῦ καὶ Θεοκτίστης. Παιδιόθεν δὲ τὸν ἐνάρετον βίον ἑλόμενος, γράμμασιν ἐκπαιδεύεται καὶ εἰς τὸ ἀκρότατον ὕψος τῆς γνώσεως ἀνήχθη. Τὸν μονήρη δὲ βίον ὑπελθὼν καὶ πᾶσαν ἰδέαν ἀρετῆς κατορθώσας, χρίσματος τῆς ἱερωσύνης παρὰ τοῦ μεγάλου Ταρασίου ἀξιοῦται. Καὶ τοῦ ὁσίου Πλάτωνος τηνικαῦτα Ἡγουμένου τῆς Μονῆς τῶν Στουδίου τυγχάνοντος, καὶ παραιτησαμένου, ὁ μακάριος οὗτος τὴν ἡγεμονίαν ἀναδέχεται, καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγῶν καὶ ἐπὶ νομὰς σωτηρίους ποιμαίνων.

Οὗτος οὖν ὁ μέγας Θεόδωρος καὶ Ταράσιος ὁ ἐν Ἁγίοις, ὁ μὲν ἀπωθεῖται τῆς Ἐκκλησίας, ὁ δέ, μαστιχθείς, ἐν τῇ Θεσσαλονίκῃ περιορίζεται, παρὰ Κωνσταντίνου υἱοῦ Εἰρήνης τῆς βασιλίσσης, διὰ τὸ τὴν μὲν νομίμως αὐτῷ συναφθεῖσαν γυναῖκα ἀποβαλεῖν, ἀγαγέσθαι δὲ ἑτέραν καὶ διελεγχθῆναι παρ᾽ αὐτῶν. Ἐπεὶ δὲ Κωνσταντῖνος τυφλωθεὶς τῆς βασιλείας ἀπεῤῥάγη, ἀνακαλεῖται τῆς ἐξορίας Θεόδωρος. Ἀλλὰ καὶ αὖθις ἐξορίζεται ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ.

Ἐκεῖθέν τε πάλιν παραπέμπεται ἐν τῷ τῶν Ἀνατολικῶν θέματι, ἐν ᾧ περὶ τὰς ἑκατὸν μάστιγας περὶ τὸν νῶτον δεξάμενος, γενναίως ἐνεκαρτέρει. Καὶ αὖθις παρὰ τοῦ στρατοπεδάρχου σφοδραῖς μάστιξιν αἰκίζεται. Κἀκεῖθεν ἐν τῇ Σμύρνῃ παραπεμφθείς, εἱρκτῇ δυσωδεστάτῃ ἐγκλείεται καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐμβάλλεται. Ἐπεὶ δὲ καὶ αὐτὸς τῆς βασιλείας ἀπεῤῥάγη, καὶ Μιχαὴλ τὰ σκῆπτρα ἐδέξατο, ἀνακαλεῖται τῶν δεσμῶν καὶ τῆς ἐξορίας ὁ μέγας Θεόδωρος. Καὶ μικρὸν ἀνεθείς, τοῖς φίλοις συνῆν, καὶ μετὰ χρηστῆς ἐλπίδος ἀνεπαύσατο ἐν Κυρίῳ. Ἦν δὲ τὴν ἡλικίαν κατάξηρος, ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος τὴν τρίχα καὶ ἐπιφάλακρος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Δρακωνᾶ. (~†284-304)

Στίχ. Τοῦ βυθίου δράκοντος πλάνην πατήσας,
Δρακωνᾶς συνάριθμος Μαρτύρων ὤφθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βαλερίου, ἐπισκόπου Σαραγόσης, τοῦ ὁμολογητοῦ. (†315)

Στίχ. Σὺν Βικεντίῳ Βαλέριος ἀθλήσας,
Ταὐτὸν εἴληφε στέφος ἄφθαρτον δόξης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Βαλεντίνου, Φηλικιανοῦ καὶ Βικτωρίνου τῶν ἐν Ῥαβέννῃ τῆς Ἰταλίας. (~†305)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρτίνου τοῦ ἐλεήμονος, ἐπισκόπου Τουρώνης τῆς Γαλλίας. (~†397)

Στίχ. Ἔργοις, λόγοις, θαύμασιν Θεὸν Μαρτῖνος,
Ζῶν καὶ μετὰ θάνατον τρανῶς δοξάζει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βεράνου (Veranus), ἐπισκόπου Λουγδούνου (Lyons) ἐν Γαλλίᾳ. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Κυνφράνου (Cynfran), κτίτορος ναοῦ ἐν Γβυνέδδῃ (Gwynedd) τῆς Οὐαλίας, ἔνθα καὶ ἁγίασμα εὑρίσκεται. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ῥεδίβου (Rhediw), οὗ μνεία γίνεται ἐν τῷ κτιτορικῷ ναοῦ ἐν Λλάνλλυφνι (Llanllyfni) τῆς βορείου Οὐαλίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Μηνᾶ τοῦ ἐκ Μικρᾶς Ἀσίας, ἐρημίτου ἐν τῇ ὁμωνύμῳ κώμῃ (Santomena) τῆς ἐπαρχίας Ἀπρουτίου (Abruzzi) ἐν Ἰταλίᾳ. (ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βερτουΐνου (Bertuin), ἐξ Ἀγγλίας, μοναχοῦ ἐν Ὀθέλλῃ (Othelle), ἐπισκόπου καὶ κτίτορος τοῦ ἀββαείου Μαλόννης (Malonne), πλησίον τῆς Ναμούρκης (Namur) ἐν Βελγίῳ. (~†698)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βαρθολομαίου τοῦ νέου, ἐν Καλαβρίᾳ. (~†1054)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Στεφάνου-Οὐρόσιτσα, πρίγκιπος τῆς Σερβίας. (†1316)

Στίχ. Βασιλόπαις πιστός, μοναστὴς θεόφρων,
Στέφανος ἐγένετο ὁ τῆς Σερβίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Στεφάνου-Οὔρεση τοῦ γ΄, ἡγεμόνος Σερβίας καὶ κτίτορος τῆς μονῆς Ντέτσανι. (†1331)

Στίχ. Τυφλωθεὶς ὁ Στέφανος καὶ πάλιν βλέψας,
Μονὴν Ντέτσανι ἀνέθετο Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων Ἐφραίμ, Εὐθυμίου, Νέστορος, τῶν ἐν Ντέτσανι. (ιδ΄ αἰ.)

Στίχ. Οἱ τρεῖς ἀσκηταὶ ἐν Ντέτσανι Τριάδος,
Ἤσκησαν ὡς ἄριστα ἀρετὴν πᾶσαν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Μιλίτσης (Milica), πριγκιπίσσης Σερβίας, Εὐγενίας κληθείσης ὑπὸ τὸ ἀγγελικὸν σχῆμα, ὕστερον Εὐφροσύνης ὡς ἡγουμένης. (†1405)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Μαξίμου, τοῦ ἐν Μόσχᾳ, διὰ Χριστὸν σαλοῦ. (†1434)

Στίχ. Μάξιμος σαλὸν ὑποκριθεὶς ἐν βίῳ,
Πάγας πονηροῦ συνέτριψεν ἐμφρόνως.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## Ὁ Εἱρμός τῆς η΄ ᾠδῆς.

Ἦχος Γα

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.




* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

## Η ῼΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος Γα

1

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.






2

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.




3

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις Αὐτόν.




4

Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.



ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι

α φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο

το κον σε με γα λυ νο μεν

5

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο

ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι

α φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο

το κον σε με γα λυ νο μεν

6

Ἀντελάβετο Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ καὶ τῷ σπέρματι Αὐτοῦ ἕως αἰῶνος.

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο

ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι

α φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο

το κον σε με γα λυ νο μεν

ᾠδὴ θ´

Ε ξε στη ε πι τȣ ȣ τω ο ȣ ρα νος και της




καὶ τὸ Ἄξιον ἐστίν:

Ἦχος Γα




Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

### Τῶν Μαρτύρων.

### Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τοὺς οὐρανοὺς ἀστέρες, κατακοσμοῦσιν Οἰκτίρμον, τὴν ἐκκλησίαν Μηνᾶς δέ, Βίκτωρ, Βικέντιος κοσμεῖ, καὶ Στεφανίς, δι' ὧν σῶσον, ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας.

### Τοῦ Ὁσίου. Ὅμοιον.

Ὑπὲρ τῶν θείων εἰκόνων, ὑπέμεινας πᾶσαν θλῖψιν, βασάνους καὶ ἐξορίας· διὸ διπλοῦν καὶ τὸ στέφος, ἐκ δεξιᾶς τοῦ Ὑψίστου, ἐδέξω Ὅσιε Πάτερ.

### Θεοτοκίον. Ὅμοιον.

Ἐν σοὶ πανάχραντε Κόρη, ἐθεωρήθησαν ὄντως, αἱ τοῦ Κυρίου πορεῖαι, καὶ τοὺς βροτοὺς ὁδηγοῦσιν, ἔνθα χορεῖαι Ἀγγέλων, καὶ πάντων ἁγίων δῆμοι.

## ΑΙΝΟΙ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τοὺς Αἴνους ὡς ἀκολούθως.

### Ψαλμὸς ρμη΄ (148).

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## Ψαλμὸς ρν΄ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

* * *

## ΔΟΞΟΛΟΓΙΑ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τὴν μικρὰν δοξολογίαν ὡς ἀκολούθως.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου

δόξαν.
Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.
Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.
Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.
Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.
Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.
Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ' ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· * συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· * φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· * τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, * σοὶ πρέπει ὕμνος, * σοὶ δόξα πρέπει, * τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, * νῦν καὶ ἀεὶ * καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον

παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## Εἰς τὸν Στίχον, τὰ Στιχηρὰ τῆς Ὀκτωήχου.

Οἱ στίχοι:
Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν, ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν· εὐφρανθείημεν ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.
Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

2024 ἦχος γ΄ , τῇ Δευτέρᾳ πρωΐ.

Εἶτα λέγομεν·

Ἦχος Δι

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ε θαυ μα στω σεν ο Κυ υ υ ρι ος

Καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμελον.
Τὸ μέλος Σίμωνος Καρᾶ.






Δόξα.

Ἀνατολίου.

Ἦχος Πα






Καὶ νῦν. Θεοτοκίον.

Πανεύφημοι Μάρτυρες.

Φωτὸς ἐνδιαίτημα Ἁγνή, μόνη ἐχρημάτισας, τοῦ ἐκ Πατρὸς ἀναλάμψαντος· ὅθεν κραυγάζω σοι· Τὴν ἐσκοτισμένην, ψυχήν μου τοῖς πάθεσι, φωτὶ τῶν ἀρετῶν καταφαίδρυνον, καὶ ἐν σκηνώμασι, φωτεινοῖς σου κατασκήνωσον, ἐν ἡμέρᾳ, τῆς κρίσεως Ἄχραντε.

Ἢ Σταυροθεοτοκίον.

Τῇ Τετάρτῃ καὶ Παρασκευῇ πρωΐ.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως πάσχεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; Μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν μητέρα, καὶ δούλην σου δέομαι.

Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. ϟα΄ 2-3)

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς

τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ ἀναγνώστης· Ἀμήν.

## Ἀπολυτίκια.

### Τῶν Μαρτύρων.

Ἦχος Δι




### Δόξα. Τοῦ Ὁσίου.

Ἦχος Γα



λω πι ι σμα Θε ο δω ρε σο φε ταις δι δα

χαις σȣ παν τας ε φω τι σας λυ ρα τȣ ȣ Πνευ μα α τος

πρε σβευ ε Χρι στω ω τω Θε ω σω θη ναι τας ψυ υ

χας η η μων

Καὶ νῦν.

Τὸ ὁμόηχον θεοτοκίον ἢ σταυροθεοτοκίον ἐκ τῶν ἁρμοδίων διὰ τὰς καθημερινάς (ὅρα εἰς Ὡρολόγιον «θεοτοκία ἀπολυτίκια»).

Ἦχος Γα

Χαι ρε η πυ λη τȣ Βα σι λε ως τη ης δο ο ξης

ην ο Υ ψι στος μο νος δι ι ω δευ σε και μο νην

ε σφρα γι σμε νην ε φυ υ λα ξεν εις σω τη ρι αν

των ψυ χων η μω ω ω ων

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικά

Τὰ ἑξαπλᾶ.

Ἦχος Νη

Κυ ρι ε Ε λε ε η σον

Κυ ρι ε Ε λε ε ε η σον

Κυ ρι ε Ε λε ε ε η σον




Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος Νη




Ἀθανασίου Καραμάνη.

Ἦχος Νη






καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

## Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)




Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)




Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϟα΄ 5)




Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϟα΄ 16)



σω σον η μας

Δόξα. Καὶ νῦν.

Ταις πρε σβει αις της Θε ο το ο κου Σω τερ σω

σον η μα α ας

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϞΒ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϞΒ΄ 1)

Πρε σβει ει αις των Α γι ων σȣ σω σον η μας Κυ ρι

ε

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϞΒ΄ 1)

Πρε σβει ει αις των Α γι ων σȣ σω σον η μας Κυ ρι

ε

Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (ϞΒ΄ 4)

Πρε σβει ει αις των Α γι ων σȣ σω σον η μας Κυ ρι

ε

Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (ϞΒ΄ 5)

Πρε σβει ει αις των Α γι ων σȣ σω σον η μας Κυ ρι

ε

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.







Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος β΄. Ψαλμὸς ϟδ΄ (94).

Στίχ. α΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. (ϟδ΄1)



Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. β΄. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. (Ϟδ΄2)

Σ ω σον η μα ας Υι ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. γ΄. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. (Ϟδ΄3)

Σ ω σον η μα ας Υι ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη

λȣ ι α α α

Ψαλλομένου τοῦ δοξαστικοῦ τῶν μακαρισμῶν ἢ τοῦ γ΄ ἀντιφώνου γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι

Δ ε ευ τε προ σκυ νη σω μεν και προ σπε ε σω ω

μεν Χρι στω ω ω ω ω σω σον η μα ας Υι ε ε

Θε ου ο εν Α γι ι οι οις θαυ μα στο ο ο ο

ος

ὁ β΄ χορός: Ψαλλον τας σοι αλ λη λȣ ȣ ι α

* * *

## Ἀπολυτίκια.

### Τῶν Μαρτύρων.

Ἦχος Δι

Οι μαρ τυ ρες σȣ Κυ ρι ε εν τη αθ λη σει αυ

των στε φα νȣς ε κο μι σαν το της αφ θαρ σι

ας εκ σȣ τȣ Θε ȣ η μων σχον τες γαρ την ι σχυν σȣ τȣς

τυ ραν νȣς κα θει λον εθ ραυ σαν και δαι μο

νων τα α νι σχυ ρα θρα ση αυ των ταις ι κε

σι αις Χρι ϛε ο Θε ος σω σον τας ψυ χας η μων

### Τοῦ Ὁσίου.

Ἦχος Γα

Ο ρ θο δο ξι ας ο δη γε ευ σε βει ας δι

δα σκα λε και σε ε μνο τη η τος της οι κȣ με νης

ο φω στηρ των μο να ζον των θε ο πνευ στον εγ κα αλ

λω πι ι σμα Θε ο δω ρε σο φε ταις δι δα




Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

## Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.

(ἀπὸ η΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι




* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι




α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α
α γι ι ος α θα α να τος ε λε ε ε η σο ο
ον η μα ας
Τό τρίτον.
Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α

α α α α γι ι ι ος α θα α να α α το ο

ο ος ε λε ε η η σον η η μα ας

## Τρισάγιον. Σύντομον.

Ἦχος Δι

Α α γι ι ος ο Θε ε ος Α α γι ι

ος Ι σχυ υ ρος Α γι ος Α θα α να α τος

ε ε λε η σον η η μα ας (τρίς)

Δ ο ξα Πα τρι και Υἱ ω και Α γι ω Πνε ευ μα

τι

Κ αι νυν και α ει και εις τȣς αι ω νας των αι

ω νων α α μην

Α γι ος Α θα α να α τος ε ε λε η

σον η η μα ας

## Δύναμις τοῦ βήματος.

Ἦχος Δι

Α α α γι ι ι ι ι ο ο ο ο

ο ος ο ο ο ο ο ο Θε ε ο ο ο ο ο




Ἕτερον ὑπό Γεωργίου Κρητός ( † 1816)

Ἦχος Δι




ι ι ι ι ι ι ι α α α α α γι ι ο ο
ο ο ος ο ο ο Θε ο ο ο ο ο ο ο ο
ο ο ο ο ος
Α
α α α α α α α α α α α α
α α α α α α γι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι α α α α α γι ο
ο ο ο ος ι ι ι σχυ ρο ο ο ο ο ο ο ο
ο ο ο ο ος
Α
α α α α α γι ο ο ο ο ος α
θα α α α α α α α α α α α α α α α θα
α να α α τος
Ε
λε ε ε ε λε ε ε η σον η μα α α
α α α α α α α α ας

* * *

2024

Ἀπόστολος: ἡμέρας, Δευτέρας κα΄ ἑβδ. ἐπιστ. (Φιλιπ. δ΄ 10-23).

Εὐαγγέλιον: ἡμέρας, Δευτέρας θ΄ ἑβδ. Λουκᾶ (Λκ. ιδ΄ 1, 12-15).

Ἦχος Δι




Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




ζω ο ο ποι οι ω ω Τρι ι α α α α ῒα α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε
λι ι και αις α ο ρα α α τω ως δο ο ρυ φο
ο ρȣ ȣ ȣ με νο ον τα α ξε σι ι ι ι ι




Τὰ Λειτουργικά,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος Δι




Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *




ως
Και με τα του Πνευ μα το ος σου
Ε χο μεν προς τον Κυ ρι ον
Α ξι ον και δι ι ι ι ι και ον
Α γι ος Α γι ος Α γι ος Κυ ρι ος Σαβ
βα ωθ πλη ρης ο ου ρα νος και η γη της δο ξης
σου ω σα να εν τοις υ ψι ι στοις ευ λο γη
με νος ο ερ χο με νος εν ο νο μα τι Κυ
ρι ι ου ου ου ω σα να εν τοις υ ψι ι ι
ι ι ι στοις
Α μη η ην Α μη η η ην
Σε υ μνου ου μεν Σε ευ λο γου ου με ε ε
εν Σοι ευ χα ρι στου μεν Κυ ρι ε και δε ο με
θα α σου ου ου ου ου ο Θε ο ο ο ο ο ο
ο ο ος η μω ω ω ων

## Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι



2024

# ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

## Τῇ Δευτέρᾳ Πέτρου Λαμπαδαρίου.

Ἦχος Πα




Δι Πα
λου ου ου ου ου ους α α α α α λει του
ου ουρ γου ου ου ου ους α αυ του ου ου ου πυ
ρο ο ο ο ο ο ο ο ο ο χο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
Δι
ο ο ο ο ο ο ο ο χο ο ο ο ο ο
Πα
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο χο ο ο ο
Κε Πα
ο πυ ρο ο ος φλο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο χο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο πυ ρος φλο ο ο ο ο
Κε
ο ο ο ο ο ο ο ο γα α α α α α
Δι Κε
α α Α λε ε λα λε λε λε λα λα λε ε
Πα
λε λα λα λε λα λε λε λε λα λα λε ε λε λα α λα
λε λε λα λα λε ε Αλ λη λου ου ου ου
ι ι ι ι ι ι ι ι α α α α α α α α
α

Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἕλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.

ΑΘΗΝΑΙ 2003

Ἦχος Δι




Ἦχος Δι




λȣ ϊ α α α
Ἦχος Δι
Ε ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος (δὶς)
Τ ο ο νο μα Κυ ρι ȣ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος